λην καὶ ἄλλην. ὡς κἀνταῦθα. ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου.

Bisetus. Τὰ κῶλά τ' ἀμπάλλετε] τὰ ἄρκυα, τὰ δίκτυα. κατὰ συνεκδοχήν. κῶλον γὰρ, μέρος ἐστὶν ἄρκυος, ὥς φησι Πολυδεύκης ἐκ Ξενοφῶντος οὕτω γράφων.

A ὅθεν καὶ Ξενοφῶν τοῖς μὲν ἐνοδίοις παρὰ τὰς ἄρκυς κῶλον ἓν, ὃ καλεῖται τόνος, προστίθησιν. Αμπάλλετε δὲ, ἀντὶ τοῦ ἀναπάλλετε.

Σχόλια. Κυνίσκας] τὰς κυνὰς. ὡς φιάλας καὶ φιαλίσκας. διπύρους δὲ ἀντὶ τοῦ διπλᾶς.

Τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.
Δι. Ἴτε δεῦρο νυν, εἴπερ γε δεῖ καὶ τοῦτό με
Ανδρῶν ποιητῶν τυροπωλῆσαι τὴν τέχνην.

*Et vtrinque verborum librabit pondera.*
*BA. Agite huc adeste: nam Poëtarum ars mihi*
B *Ad libram erit vendenda, tanquam casei.*

Σχόλια. Τὸ γὰρ βάρος] τινές φασιν, ἕως τῶν ἐνθάδε τὸν Αἰσχύλον λέγειν. τὰ δὲ ἑξῆς τὸν Διόνυσον. Τυροπωλῆσαι.] πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός.

Κορωνὶς, καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ ἐκ κώλων ή.

Χο. Ἐπίπονοί γ' οἱ δεξιοί.
Τὸ δὲ γὰρ ἕτερον αὖ τέρας
Νεοχμὸν, ἀτοπίας πλέων,
Ὅ τίς ἂν ἐπενόησεν ἄλλος;
Μὰ τὸν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
Ἔλεγέ μοι τῶν ἐπιτυχόντων
Ἐπειθόμην, ἀλλ' ᾠόμην ἂν
Αὐτὸν αὐτὰ ληρεῖν.

*CH. Viri operosi, qui cati:*
*Equidem opus hoc planè nouum,*
C *Et prodigiosum, & absurdum.*
*Nam quis vnquam hoc cogitauit?*
*Testor hunc, si quis mihi antè*
*Tale quid dixisset, illi haud*
*Fidem dedissem, sed putassem*
*Illum afferre nugas.*

Σχόλια. Ἐπίπονοί γ' οἱ δεξιοί.] κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ διὰ τὸ προτίθεσθαι τῆς κορωνίδος ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις ή. D ὧν τὰ γ' ἑφθημιμερῆ τὰ δ' ἄλλα δίμετρα ἀκατάληκτα πλὴν τοῦ τελευταίου ἰθυφαλικοῦ ὄντος. ἐπὶ τῷ τέλει κορωνίς. Μὰ τὸν.] ἐλλιπτικῶς ὀμνύει, καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν εὐλαβείας χάριν. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι, ἐπευφημιζόμενοι ὥστε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι. καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. λέγει δὲ, οὐκ ἂν ἐπειθόμην, οὐδ' εἴ τις μοι ἔλεγε τῶν ἐπὶ τοῦ πράγματος τυχόντων. τὸ δὲ ἐπιτυχόντων, ἀντὶ τοῦ συνελθόντων. ἢ ἐπὶ ἀντὶ τῆς σύν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
### Σκηνὴ τρίτη.
### ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ, ΕΥΡΙΠΙΔΗΣ.

E

## ACTVS V. SCENA III.
### BACCHVS, ÆSCHYLVS, EVRIPIDES.

Bisetus. Διόνυσος, Αἰσχύλου τοῦτο αἰτοῦντος, τοὺς ἀμφοτέρους λόγους, καὶ μέτρα ἐπὶ τὸν σταθμὸν λέγεσθαι κελεύει, ἵνα γιγνώσκῃ, καὶ ἀποφαίνηται ὁποτέρου τὰ ἔπη βαρύτερα, καὶ τιμιώτερα εἴη.

Κορωνὶς ἑτέρα ἐκ στίχων ρέ.

Δι. Ἴθι νυν παρίστασθον παρὰ τὼ πλάστιγγ'. Αἰ. Ἰδού.
Δι. Καὶ λαβομένω, τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
Καὶ μὴ μεθεῖσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.
Αἰ. Ἐχόμεθα. Δι. Τοὔπος νυν λέγετον ἐπὶ τὸν σταθμόν.
Εὐ. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος.

F *BA. Age, nunc astate ad lances. Æs. eccum me tibi.*
*BA. Et apprendentes quisque verbum proferat,*
*Neque è manu mittatis, priusquam clamitē (bes*
*Cuculi more. Æs. tenem⁹. BA. nūc recitet quilit-*
*Versum, ad staterā, aut verbū proferat aliquod.*
*EV. O si ratis non peruolasset Argo aquis.*

Σχόλια. Ἴθι νυν παρίστασθον.] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρέ. ὧν τελευταῖος. νὴ τὸν Δί' οὐ γὰρ ἄχθομαι τῷ πράγματι ἐπὶ τῷ τέλει κορωνίς. Παρὰ τὼ πλάστιγγ'] παρὰ τοῖς λεγομένοις ζυγίοις. τὸ δὲ σχῆμα ἀττικόν. ὡς τὸ χεῖρε, τὼ πόδε, καὶ νὴ τὼ σιώ. πλάστιγξ δὲ τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθεται τὰ G ζυγά. Κοκκύσω.] συείσω. σύνθημα δῶ. δίκην ἀλεκτρυόνος βοήσω. τὸ δὲ εἴθ' ὤφελεν, ἀρχὴ τοῦ Μηδείας δράματος Εὐριπίδου.

Bisetus. Κόκκυ] Εὐστάθιος. ἐπίρρημα, παρὰ τὸ κοκκύζειν, τὸ κατὰ κόκκυγα ᾄδειν. κοκκύζειν δὲ κυρίως λέγεται ὁ κόκκυξ τὸ ὄρνεον κατὰ λέξεως ὀνοματοποιΐαν. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀλεκτρυόνων, ἀντὶ τοῦ ᾄδειν.

Αἰ. Σπερ-